ceu cùm ex paucorum potentia vel tyrannide, ad popularem statum fit mutatio. Tunc enim neque mutuatam pecuniam soluere quidam volunt, quasi non ciuitas eam susceperit, sed tyrannus: nec alia huiusmodi permulta, quasi respublica vi ac victoria constet, non publica vtilitate. Si igitur per hunc modum, quædam in populari statu fiunt, esse similiter dicendum est huius ciuitatis acta, & paucorum potentiæ & tyrannidis.

CAPVT II.

VIdetur autem proprius huius quæstionis locus, quomodo aliquando dicamus ciuitatem esse eandem & non eandem, sed aliam. Potissimè igitur inuestigatio dubitationis huius est circa locum, & homines. fieri enim potest, vt separetur locus & homines, & alios alibi habitare. Sed hæc leuior est dubitatio. nam cùm multipliciter dicatur ciuitas, perfacilis est huiusmodi quæstio. Similiter quoque eorum qui eundem inhabitant locum, quoad dicendum sit vnam esse ciuitatem. nõ enim mœnibus id definitur. liceret enim Peloponnesum totam vnis mœnibus circundari, talis fortasse est Babylon, quæ capta cùm esset ab hostibus, ferunt partem aliquam eius ciuitatis tertia die nondum aliquid sensisse, similiter & quæcunque alia magis habet circunscriptionem gentis quàm ciuitatis. Sed huius quæstionis alio loco vtilis erit consideratio. nam de magnitudine ciuitatis, & quantã esse vtile sit, & vtrum vnam vel plures, latere non debet ciuilem hominem. At manentib. eisdem habitatoribus eodẽ loco, vtrũ quoad sit idem genus habitantium eandem esse ciuitatem dicendum sit, quanuis semper alij intereant, alij oriantur? vt & flumina solemus eadem dicere, & fontes eosdem, quãuis semper vnda noua superueniat ac defluat. An homines dicendũ sit eosdẽ esse propter eandẽ causam, sed ciuitatem aliam? Nam si ciuitas est societas quædam (societas autem ciuium) variata reipublicæ gubernandæ forma, & alia affecta, necessarium vtique videretur, ciuitatẽ quoque non eandem permanere, vt & chorũ alium esse dicimus dum tragicus est, quàm dum comicus: & si iidem sint homines, eodémque item modo, omnem aliam societatem & compositionem, si species cõpositionis alia fiat: ceu harmoniam earundẽ

A δὴ ὅταν ἐξ ὀλιγαρχίας, ἢ τυραννίδος γένηται δημοκρατία. τότε γὰρ οὔτε τὰ συμβόλαια ἔνιοι βούλονται διαλύειν, ὡς οὐ τῆς πόλεως, ἀλλὰ τοῦ τυράννου λαβόντος· οὔτ' ἄλλα πολλὰ τῶν τοιούτων, ὡς ἐνίας τῶν πολιτειῶν τῷ κρατεῖν οὔσας, ἀλλ' οὐ διὰ τὸ κοινῇ συμφέρον. εἴπερ οὖν καὶ δημοκρατοῦνταί τινες κατὰ τὸν τρόπον τοῦτον, ὁμοίως τῆς πόλεως φατέον εἶναι

B ταύτης τὰς τῆς πολιτείας ταύτης πράξεις, καὶ τὰς ἐκ τῆς ὀλιγαρχίας, καὶ τῆς τυραννίδος. Ἔοικε δ' οἰκεῖος ὁ λόγος εἶναι τῆς ἀπορίας ταύτης, πῶς ποτε χρὴ λέγειν τὴν πόλιν εἶναι τὴν αὐτήν, ἢ μὴ τὴν αὐτήν, ἀλλ' ἑτέραν. ἡ μὲν οὖν ἐπιπολαιοτάτη τῆς ἀπορίας ζήτησις, περὶ τὸν τόπον καὶ τοὺς ἀνθρώπους ἐστίν. ἐνδέχεται γὰρ διαζευχθῆναι τὸν τόπον καὶ τοὺς

C ἀνθρώπους, καὶ τοὺς μὲν ἕτερον, τοὺς δ' ἕτερον οἰκῆσαι τόπον. ταύτην μὲν οὖν πρᾳοτέραν θετέον τὴν ἀπορίαν. πολλαχῶς γὰρ τῆς πόλεως λεγομένης, ἐστί πως εὐμάρεια τῆς τοιαύτης ζητήσεως. ὁμοίως δὲ καὶ τῶν τὸν αὐτὸν τόπον κατοικούντων ἀνθρώπων, πότε δεῖ νομίζειν μίαν εἶναι τὴν πόλιν. οὐ γὰρ δὴ τοῖς τείχεσιν. εἴη γὰρ ἂν Πελοποννήσῳ περιβαλεῖν ἓν τεῖχος· τοιαύτη δ' ἴσως ἐστὶ καὶ Βαβυλών,

D καὶ πᾶσα ἥτις ἔχει περιγραφὴν μᾶλλον ἔθνους ἢ πόλεως· ἧς γέ φασιν ἑαλωκυίας τρίτην ἡμέραν, οὐκ αἰσθέσθαι τι μέρος τῆς πόλεως. ἀλλὰ περὶ μὲν ταύτης τῆς ἀπορίας, εἰς ἄλλον καιρὸν χρήσιμος ἡ σκέψις. περὶ γὰρ μεγέθους τῆς πόλεως, τό τε πόσον, καὶ πότερον ἔθνος ἓν ἢ πλείω συμφέρει, δεῖ μὴ λανθάνειν τὸν πολιτικόν. ἀλλὰ τῶν αὐτῶν κατοικούντων

E τὸν αὐτὸν τόπον, πότερον ἕως ἂν ᾖ τὸ γένος ταὐτὸ τῶν κατοικούντων, τὴν αὐτὴν εἶναι φατέον πόλιν, καίπερ ἀεὶ, τῶν μὲν φθειρομένων, τῶν δὲ γινομένων, ὥσπερ καὶ ποταμοὺς εἰώθαμεν λέγειν τοὺς αὐτούς, καὶ κρήνας τὰς αὐτάς, καίπερ ἀεὶ τοῦ μὲν ἐπιγινομένου νάματος, τοῦ δ' ὑπεξιόντος· ἢ τοὺς μὲν ἀνθρώπους φατέον εἶναι τοὺς αὐτοὺς διὰ τὴν τοιαύτην αἰτίαν, τὴν δὲ

F πόλιν ἑτέραν. εἴπερ γάρ ἐστι κοινωνία τις ἡ πόλις, ἔστι δὲ κοινωνία πολιτῶν, πολιτείας γινομένης ἑτέρας τῷ εἴδει, καὶ διαφερούσης τῆς πολιτείας, ἀναγκαῖον εἶναι δόξειεν ἂν καὶ τὴν πόλιν εἶναι μὴ τὴν αὐτήν, ὥσπερ γε καὶ χορόν, ὁτὲ μὲν κωμικόν, ὁτὲ δὲ τραγικόν, ἕτερον εἶναί φαμεν, τῶν αὐτῶν πολλάκις ἀνθρώπων ὄντων. ὁμοίως δὲ καὶ πᾶσαν ἄλλην κοινωνίαν καὶ σύνθεσιν ἑτέραν, ἂν εἶδος ἕτερον ᾖ τῆς συνθέσεως, οἷον ἁρμονίαν τῶν αὐτῶν φθόγγων.

ἑτέραν